10 ἀπνευστί. καὶ τῶν ἐστιωμένων πρῶτος ἐπαινέσαι τὸν οἶνον
καὶ παραμένων εἰπεῖν· 'ὡς μαλακῶς ἐσθίεις', καὶ ἄρας τι
τῶν ἀπὸ τῆς τραπέζης φῆσαι· 'τουτὶ ἄρα ὡς χρηστόν ἐστι',
καὶ ἐρωτῆσαι, μὴ ῥιγοῖ, καὶ εἰ ἐπιβάλλεσθαι βούλεται, καὶ 30
εἴ τι περιστείλῃ αὐτόν· καὶ μὴν ταῦτα λέγων πρὸς τὸ οὖς
προσπίπτων διαψιθυρίζειν· καὶ εἰς ἐκεῖνον ἀποβλέπων τοῖς
11 ἄλλοις λαλεῖν. καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος
12 τὰ προσκεφάλαια αὐτὸς ὑποστρῶσαι. καὶ τὴν οἰκίαν φῆσαι
εὖ ἠρχιτεκτονῆσθαι καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι καὶ τὴν 35
εἰκόνα ὁμοίαν εἶναι.

13 Καὶ τὸ κεφάλαιον τὸν κόλακα ἔστι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράττοντα, ᾧ χαριεῖσθαι ὑπολαμβάνει.

III ΑΔΟΛΕΣΧΙΑΣ Γ'

1 Ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν
2 καὶ ἀπροβουλεύτων· ὁ δὲ ἀδολέσχης τοιοῦτός τις, οἷος, ὃν

ὑπουργεῖν ἐπέχοντα τοὺς ἐκείνου δούλους. καὶ ἁπλῶς τοσαῦτα καὶ λέγειν καὶ πράττειν δι' ὅσων νομίζει χαριεῖσθαι:

M: Περὶ ἀδολεσχίας γ'. Ἡ δὲ ἀδολεσχία διήγησίς ἐστι λόγων οὐ καιρίων ἢ μακρῶν. καὶ ἀπροβουλεύτων. καὶ ὁ ἀδολέσχης τοιοῦτός ἐστιν

---

25 προσήγγελκας A B: προσήγγελκά σε recc. 26 ἀμέλει . . . ἀπνευστί excerptorem sapiunt δὲ B: om. A ἐκ ⟨τῆς⟩ Casaubon 28 παραμένων A B: παρακειμένων recc.: παρακείμενος Ast αἰσθίεις, sed corr. B 29 ἄρα] an ὅρα? 30 εἰ del. Wilamowitz 31 εἴ τι Petersen: ἔτὶ sic B: ἔτι A: post ἔτι transposuit ταῦτα λέγων, corrigens ex recc. περιστεῖλαι, Ussing μὴν recc.: μὴ A B: ἅμα conieci λέγων, sed corr. ead. manu λέγειν A 32 προσπίπτων B: προσ διαπίπτων A: προσκύπτων Valckenaer διαψιθυρίζειν A: ψιθυρίζειν B εἰς B: ὡς A 35 ἠρχιτεκτονῆσθαι, alterum η ex ει corr. A B 37-38 epilogus insitivus 37 πάντα A B: πᾶν Cobet: πάντῃ conieci 38 ᾧ A B: ἃ vel οἷς recc.

III. 3 τις Cobet: ἐστιν A B (cf. i 1, v 1, vi 1) · ὃν recc.: ὧν B: ὧν A

μὴ γιγνώσκει, τούτῳ παρακαθεζόμενος πλησίον πρῶτον μὲν
5 τῆς αὐτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα, ὃ τῆς νυκτὸς
εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ
δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν. εἶτα δὴ προχωροῦντος 3
τοῦ πράγματος λέγειν, ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν
ἄνθρωποι τῶν ἀρχαίων, καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ
10 ἐν τῇ ἀγορᾷ, καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι, καὶ τὴν
θάλατταν ἐκ Διονυσίων πλόιμον εἶναι· καὶ εἰ ποιήσειεν 4
ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι, καὶ ὃν
ἀγρὸν εἰς νέωτα γεωργήσει, καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν,
καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην δᾷδα ἔστησεν, καὶ
15 πόσοι εἰσὶ κίονες τοῦ Ὠιδείου, καὶ 'χθὲς ἥμεσα', καὶ 'τίς
ἐστιν ἡμέρα τήμερον;' κἂν ὑπομένῃ τις αὐτόν, μὴ ἀφί- 5
στασθαι. καὶ ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια,
Πυανοψιῶνος δὲ Ἀπατούρια, Ποσιδεῶνος δὲ ⟨τὰ⟩ κατ'
ἀγροὺς Διονύσια.

20 Παρασείσαντα δὴ δεῖ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ 6
διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρευτος βούλεται εἶναι·
ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν μήτε σπουδὴν
διαγινώσκουσιν.

οἷος λέγειν ὡς χαλεπὸν τὸ ζῆν. καὶ πόσοι εἰσὶν οἱ τοῦ ὠδείου κίονες. ὡς βοηδρομιῶνος μὲν ἐστὶ τὰ μυστήρια. πυανεψιῶνος τὰ ἀπατούρια, ποσειδεῶνος δὲ κατ' ἀγροὺς τὰ διονύσια. διαράμενος ἀπαλλάττου τῶν τοιούτων. ὁ γὰρ χρόνος οὐδὲ τοῖς καιριωτέροις ἐξαρκεῖ:

---

4 γινώσκει A B 5 αὐτοῦ A B 6 τὸ δεῖπνον A 7 δὴ ex δεῖ B 11 θάλασσαν A πλόιμον sic A B, at in hoc λ ex ν corr. (cf. Lobeckii Phryn. p. 615) 12 πλεῖον sic A B; in B extremum paginae vocabulum omissum statim eadem manu suppletum est καὶ ὁ ἀγρὸ̄ A B: correxi: καὶ ὅτι τὸν ἀγρὸν Casaubon 13 ἐς νεώτατα sic A 14 δάμιππος B μεγίστοις A 15 ἥμεσα sic A B 16 σήμερον A B κἂν . . . ἀφίστασθαι eiusdem auctoris credo qui epilogum adiecit; transposuerunt post Διονύσια (v. 19) Schneider alii 18 πυανεψιῶνος et ποσειδεῶνος A B ἀπατούρια sic A B τὰ add. Casaubon 20-23 epilogus manifesto insitivus ἀνθρώπων ⟨φεύγειν⟩ Casaubon 21 διαράᾳ (quod fere est -μενος) A B; fortasse ⟨τοὺς πόδας⟩ διαράμενον volebat auctor ἀπαλάττεσθαι A 22 μήτε σπουδὴν μήτε σχολὴν A

IV ΑΓΡΟΙΚΙΑΣ Δ'

1 Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων, ὁ δὲ
ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς ἐκκλησίαν
πορεύεσθαι, καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον
ὄζειν, καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα φορεῖν, καὶ
2 μεγάλῃ τῇ φωνῇ λαλεῖν. καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις
ἀπιστεῖν, πρὸς δὲ τοὺς αὐτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ
3 τῶν μεγίστων· καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς
4 ἐν ἀγρῷ πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι. καὶ
ἀναβεβλημένος ἄνω τοῦ γόνατος καθιζάνειν, ὥστε τὰ γυμνὰ
5 αὐτοῦ φαίνεσθαι. καὶ ἐπ' ἄλλῳ μὲν μηδενὶ ⟨μήτε θαυ-
μάζειν⟩ μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς, ὅταν δὲ ἴδῃ βοῦν
6 ἢ ὄνον ἢ τράγον, ἑστηκὼς θεωρεῖν. καὶ προαιρῶν δέ τι ἐκ
7 τοῦ ταμιείου δεινὸς φαγεῖν· καὶ ζωρότερον πιεῖν. καὶ τὴν
σιτοποιὸν πειρῶν λαθεῖν, κἆτ' ἀλέσαι μετ' αὐτῆς τοῖς ἔνδον
8 πᾶσι καὶ αὐτῷ τὰ ἐπιτήδεια. καὶ ἀριστῶν δὲ ἅμα τοῖς
9 ὑποζυγίοις ἐμβαλεῖν. ⟨καὶ παρὰ⟩ τὴν θύραν ὑπακοῦσαι
10 αὐτός. καὶ τὸν κύνα προσκαλεσάμενος καὶ ἐπιλαβόμενος
τοῦ ῥύγχους εἰπεῖν· 'οὗτος φυλάττει τὸ χωρίον καὶ τὴν

M: Περὶ ἀγροικίας δ'. Ἡ ἀγροικία ἀμαθία ἐστί. καὶ ὁ ἀγροῖκος τοιοῦτος οἷος φάσκειν οὐδὲν ἥδιον θύμου τὸ μῦρον ὄζειν. καὶ οἰκέταις κοινοῦσθαι περὶ μεγίστων. καὶ μισθωτοῖς ἐργαζομένοις τὰ ἐπ' ἐκκλησίας διηγεῖσθαι. καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος καθῆσθαι. καὶ ἑστάναι ὁρῶντα ζῶα. καὶ ἀπαιδεύτως ἐσθίειν καὶ ζωρότερον πίνειν. καὶ ἐσθίοντα ἐπιλαβέσθαι τοῦ ῥύγχους κυνός. λέγοντα οὗτος φύλαξ. καὶ ἀργύριον παρά του δεχόμενος

IV. 3 τοιοῦτος οἷον (om. τις) sic A 4 οὐδὲ sic B 7 αὐτοῦ A B 10 ἀναβλημένος sic A 11 ὑποφαίνεσθαι recc. μὲν om. A μήτε θαυμάζειν (om. sane μηδενὶ suppl. Pirckeimher: θαυμάζειν praeiverant recc. 12 ἐν ταῖς ὁδοῖς B: ἐν (omissis ταῖς ὁδοῖς), sed circumpunctum A 13 θεωρεῖν in litura corr. B δέ τι sic A B 14 ταμείου sic A B δεινὸς, sed corr. -ῶς A B 15 λαθεῖν A B: λαβεῖν Marcianus: ⟨μὴ⟩ λαθεῖν Meineke: περιλαβεῖν conieci κἆτ' ἀλέσας sic A B: corr. Casaubon 16 αὐτῷ B: αὐτοῖς A 17 ⟨καὶ παρὰ⟩ supplevi: ⟨καὶ κύψαντος⟩ suppl. recc. ἐπακοῦσαι A B: corr. Casaubon. cf. xxviii 3 18 ante τὸν κύνα add. ⟨ἑστιῶν⟩ ex M ἐσθίοντα Edmonds

20 οἰκίαν.' καὶ τὸ ἀργύριον δὲ παρά του λαβὼν ἀποδοκιμάζειν, 11
λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἀνταλλάττεσθαι· καὶ εἴ
τῳ ἄροτρον ἔχρησεν ἢ κόφινον ἢ δρέπανον ἢ θύλακον,
ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνῃσκόμενος *. καὶ 12
εἰς ἄστυ καταβαίνων ἐρωτῆσαι τὸν ἀπαντῶντα, πόσου
25 ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος καὶ εἰ τήμερον ὁ ἀγὼν
νουμηνίαν ἄγει, καὶ εἰπεῖν εὐθὺς ὅτι βούλεται καταβὰς
ἀποκείρασθαι. καὶ ἐν βαλανείῳ δὲ ἆσαι· καὶ εἰς τὰ ὑπο- 13
δήματα δὲ ἥλους ἐγκροῦσαι. καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν 14
κομίσασθαι παρ' Ἀρχίου τοὺς ταρίχους.

ΑΡΕΣΚΕΙΑΣ Ε′ V

Ἡ δὲ ἀρέσκειά ἐστι μέν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις 1
οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική, ὁ δὲ ἄρεσκος
ἀμέλει τοιοῦτός τις, οἷος πόρρωθεν προσαγορεύσας καὶ 2
5 ἄνδρα κράτιστον εἰπὼν καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις
ταῖς χερσὶ μὴ ἀφιέναι καὶ μικρὸν προπέμψας καὶ ἐρωτήσας,

ἀποδοκιμάζειν. καὶ εἴ τι ἔχρησεν ζητεῖν παρακαιρόν. καὶ ὅλως τοιαῦτά τινα ἀπαιδευτα καὶ ἄκαιρα λέγειν ἀγροικίας ἐστίν:

M: Περὶ ἀρεσκείας ε′. Ἡ δὲ ἀρέσκεια ἔντευξίς ἐστιν ἡδονῆς παρασκευαστικὴ ἀλλ' οὐκ ἐπὶ τῷ βελτίστω. οἷον εἴ τις δυσὶν ἐναντίως ἔχουσιν

---

20 του B: τούτου A 21 μὲν A B: λέγων Casaubon: γὰρ Eberhard λυπρὸν A B: λεπρὸν Duport: ῥυπαρὸν Cichorius; fortasse in μὲν λυπρὸν latet μολυβρὸν ἀνταλλάττεσθαι Cobet: ἅμα ἀλλάττεσθαι A B εἴ τῳ Needham: εἰ τὸ A: τὸ B: εἴ τι M 23 τοῦ νυκτὸς B post ἀναμιμνῃσκόμενος add. ἀπαιτεῖν Casaubon; ζητεῖν M excerpentis arbitrio debetur 25 σήμερον A B ὁ ἀγὼν] locus corruptus aut mutilus: ὁ ἄρχων, ὁ ἀγορανομῶν, ὑπάγων sim. frustra; fort. ὁ ἀγών, ⟨καὶ εἰ⟩ scribendum 27 καὶ ἐν βαλανείῳ . . . ἐγκροῦσαι post ταρίχους transp. Schneider: insitiva credere malo 28 παριὼν del. Cobet 29 τοῦ ταρίχους Sylburg

V. 2 ἡ δὲ sic A B 3 παρασκευή sic A ὁ δὲ sic A B 4 τις B: ἐστὶ A πόρρωθε προαγορεύσας A

3 πότε αὐτὸν ὄψεται, ἐπαινῶν ἀπαλλάττεσθαι. καὶ παρα-
κληθεὶς δὲ πρὸς δίαιταν μὴ μόνον ᾧ πάρεστι βούλεσθαι
ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἷς εἶναι δοκῇ.
4 καὶ τοὺς ξένους δὲ εἰπεῖν ὡς δικαιότερα λέγουσι τῶν πολι- 10
5 τῶν. καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον κελεῦσαι καλέσαι τὰ
παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα φῆσαι σύκου ὁμοιότερα
εἶναι τῷ πατρί, καὶ προσαγόμενος φιλῆσαι καὶ παρ' αὐτὸν
καθίστασθαι· καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς λέγων 'ἀσκός,
πέλεκυς'· τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾶν καθεύδειν ἅμα 15
θλιβόμενος.

6 Καὶ πλειστάκις δὲ ἀποκείρασθαι καὶ τοὺς ὀδόντας λευκοὺς
ἔχειν καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι καὶ χρίσματι
7 ἀλείφεσθαι. καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσ-
φοιτᾶν, τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν 20
ἔφηβοι γυμνάζωνται, τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα,
8 πλησίον τῶν στρατηγῶν. καὶ ἀγοράζειν αὐτῷ μὲν μηδέν,
ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα, καὶ Λακωνικὰς κύνας
εἰς Κύζικον καὶ μέλι Ὑμήττιον εἰς Ῥόδον, καὶ ταῦτα ποιῶν
9 τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. ἀμέλει δὲ καὶ πίθηκον θρέψαι 25
δεινὸς καὶ τίτυρον κτήσασθαι καὶ Σικελικὰς περιστερὰς καὶ

ἀρέσκειν ἐπιχειρῇ ἑκατέρῳ. καὶ τοὺς ξένους δικαιοτέρους ἀποδεικνύῃ. τῶν πολιτῶν καὶ ἐν συμποσίῳ προσαγόμενος τὰ τοῦ κεκληκότος παιδία φιλεῖν. συμπαίζειν λέγοντα ἀσκὸς πέλεκυς. τὰ δ' ἐπὶ γαστρὸς ἐᾶν καθεύδειν θλιβόμενον. ἀμπίσχεσθαι καινὰ ἀρωματίζεσθαι. φοιτᾶν ἐν γυμνασίοις. προκαθῆσθαι. καὶ ἀγοράζειν μὲν αὐτὸν μηδέν. ξένοις δὲ συνεργεῖν λακωνικὰς κύνας πέμπειν εἰς κύζικον καὶ μέλι ὑμήττιον εἰς ῥόδον. καὶ πίθηκον θρέψαι

---

7 ἐπαινῶν (vel ἔτι ἐπαινῶν) recc.: ἔτι αἰνῶν sic A B 9 κοινὸς εἷς εἶναι sic A B: εἷς del. recc., et puto novicio significatu *unice, quam maxime* ab excerptore additum: κοινός τις εἶναι Pauw 11 κεκλημένοι sic A κελεύσει A B: corr. recc. 13 προσαγαγόμενος recc. αὐτὸν A B 14 καθίσασθαι Cobet ludus ignotus 17 inde a § 6 multis alienum caput excerptum videtur, quod inde ab Ansaldo Cebà nonnulli c. xxi inserunt 21 γυμνάζωνται B: γυμνάζονται A ᾖ recc.: ἡ A B 22 αὐτῷ Stephanus: αὐτὸν A B 23 ἐπιστάλματα A B; aut excerptoris novicia vox est aut corrupta: ἀποστέλλειν ἀγάλματα Meineke 24 post Κύζικον falso suppl. πέμπειν recc. 25 δρέψαι A B: corr. recc.

δορκαδείους ἀστραγάλους καὶ Θουριακὰς τῶν στρογγύλων ληκύθους καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαι-
30 στριαῖον κόνιν ἔχον καὶ σφαιριστήριον. καὶ τοῦτο περιὼν 10
χρηννύναι τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι· καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον ἐπεισιέναι ἐπὶ ⟨τῷ τὸν ἕτερον εἰπεῖν⟩ τῶν θεωμένων πρὸς τὸν ἕτερον, ὅτι τούτου ἐστὶν ἡ παλαίστρα.

ΑΠΟΝΟΙΑΣ ϛ′ VI

Ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων, 1
ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχύ, κακῶς 2
ἀκοῦσαι, λοιδορηθῆναι δυνάμενος, τῷ ἤθει ἀγοραῖός τις καὶ
5 ἀνασεσυρμένος καὶ παντοποιός. ἀμέλει δυνατὸς καὶ ὀρχεῖ- 3

καὶ τίτυρον καὶ σικελικὰς περιστεράς. καὶ θουριακὰς τῶν στρογγύλων ληκύθους. καὶ βακτηρίας τῶν σκολιῶν ἐκ λακεδαιμονος καὶ αὐλαίαν ἔχουσαν πέρσας ἐνυφασμένους. καὶ ὅσα δή τινα τοιαῦτα.

Schol. B ad v. 26 τίτυρον : Δωριεῖς τὸν σάτυρον. καὶ ἔστι δὲ ὁ μικρὰν ἔχων οὐρὰν πίθηκος. ῥωνος (ρανωνος?) λορησισ εκ λ⁻ μ̊ (obscuratae litterae). Schol. M : τίτυρος δωρικῶς ὁ σάτυρος ἤγουν ὁ μικρὰν ἔχων οὐρὰν πίθηκος.

Schol. B ad v. 27 Θουριακάς : ἔθνος Ἰ⟨τα⟩λί⟨ας⟩ (? ἐν ὧ λήκυθοι διαφέρωσαι (διαφέρουσαι?) τῶν ἄλλων ἐργάζονται. Schol. M : οἱ θούριοι ἔθνος ταραντινικὸν ἐν ὧ λήκυθοι εἰργάζοντο διαφέρουσαι τῶν ἄλλων.

M : Περὶ ἀπονοίας ϛ′. Ἡ ἀπόνοια ὑπομονή ἐστιν ἔργων αἰσχρῶν. καὶ ὁ ἀπονενοημένος, οἷος καὶ νήφων ὀρχεῖσθαι τὸν κόρδακα. ἀνασεσυρμένον τε

28 τῶν σκολιῶν ⟨τῶν⟩ Edmonds 30 περιὼν (i. e. περιιὼν) A B 31 χρηννύναι (i.e. κιχράναι, cf. χρηννύειν x 13, cf. *Theophrastea* p. 15 n. 1, Praef. p. vi sq. Foss: χρὴ νῦν ἀεὶ A B 32 ἐνδείκνυσθαι Cobet ἐπιδείξεσιν recc. : ἀποδείξεσιν A B 33 ἐπεισιέναι Foss : ἔπεισιν A B ⟨τῷ εἰπεῖν τὸν ἕτερον⟩ suppl. Foss, cuius ordinem mutavi

VI. 2 καὶ λόγων Stephanus : δικαιολόγων sic A B : τε καὶ λόγων Gale 3 τις B : ἐστιν A ὀμόσαι . . . δυνατὸς καὶ (v. 5) excerptoris indicia produnt ut omnino §§ 7–10 ⟨ἑκὼν⟩ κακῶς Herwerden 4 ἀκοῦσαι ⟨καὶ⟩ editores veteres δυνάμενος del. Meyer : δυναμένοις Foss

σθαι γήφων τὸν κόρδακα καὶ προσωπεῖον ἔχων ἐν κωμικῷ
4 χορῷ. καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοῦς ἐκλέγειν καθ'
ἕκαστον παριὼν καὶ μάχεσθαι τούτοις τοῖς τὸ σύμβολον
5 φέρουσι καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. δεινὸς δὲ καὶ παν-
δοκεῦσαι καὶ πορνοβοσκῆσαι καὶ τελωνῆσαι καὶ μηδεμίαν
αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγει-
6 ρεύειν, κυβεύειν· τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι
κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν ἢ τὴν αὑτοῦ
οἰκίαν.

7 Καὶ τοῦτο δ' ἂν εἶναι δόξειεν τῶν περιισταμένων τοὺς
ὄχλους καὶ προσκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρρω-
γυίᾳ λοιδορουμένων καὶ διαλεγομένων πρὸς αὐτούς, καὶ
μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασιν πρὶν ἀκοῦσαι αὐτοῦ,
ἀλλὰ τοῖς μὲν ἀρχήν, τοῖς δὲ συλλαβήν, τοῖς δὲ μέρος τοῦ
πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν
αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις.

8 Ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς
δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ προ-
9 κολπίῳ καὶ ὁρμαθοὺς γραμματειδίων ἐν ταῖς χερσίν· οὐκ
ἀποδοκιμάζειν δὲ οὐδ' ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν

περιάγειν ἐν θεάτρῳ κέραμον οἰκεῖν πλεῖον ἢ οἰκίαν. ἐν δικαστηρίῳ παρεῖναι ἔχοντα ἐχῖνον ἐν τῷ προκολπίῳ. καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν.

Schol. B ad v. 6 κόρδακα: εἶδος αἰσχρᾶς καὶ ἀπρεποῦς ὀρχήσεως (item fere M).

Id. B ad v. 23 ἐχῖνον: σκεῦος χαλκοῦν ἐστι τῆς δικαστικῆς τραπέζης.

---

6 ⟨μὴ⟩ ἔχειν recc.: ⟨οὐκ⟩ ἔχων Needham: ⟨μὴ⟩ ἔχων Schneider κομικῷ B 7 χῶρῶι A post χορῷ (conl. M et transposito ἀνασεσυρμένος v. 5) add. ἀνασεσυρμένος περιάγειν Edmonds 8 τούτοις τοῖς B: ἕτοις. τοῖς A (i.e. τώτοις. τοῖς, sed ~ videtur in corr. esse): τούτοις del. recc.: τούτων τοῖς Petersen: τούτων τοῖς ⟨δὶς⟩ conieci 9 ⟨οὐ⟩ φέρουσι Corais 11 ἐργασίαν αἰσχρὰν A 13 αὐτοῦ A B 15 τοῦτο A B: οὗτος Casaubon: τούτων Needham; excerptorem noli emendare (vide ad v. 3) δ' del. Needham 18 αὐτοῦ ⟨τὸ πᾶν⟩? 19 ἀρχὴν B: τὴν ἀρχὴν A συλλαβήν] desideres τελευτήν; συλλογὴν Wachsmuthi, συναφὴν Naberi non quadrant 20 λέγει recc.: λέγειν A B οὐ καλῶς A 22 τὰς δὲ ἐξόμνυσθαι A: ταῖς δὲ ἐξόμνυσθαι B 24 γραμματιδίων A B 25 ἀποδοκιμάζων A B: corr. Meier inserens καὶ ante οὐκ ἅμα πολλῶν A B: ἀλλαντοπωλῶν conieci

καὶ εὐθὺς τούτοις δανείζειν καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι. καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπώλια, τὰ ταριχοπώλια, καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν.

30 Ἐργώδεις δέ εἰσιν οἱ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς 10 λοιδορίαν καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.

ΛΑΛΙΑΣ Ζ′ VII

Ἡ δὲ λαλιά, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν 1 δόξειεν ἀκρασία τοῦ λόγου, ὁ δὲ λάλος τοιοῦτός τις, οἷος 2 τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, 5 ὅτι οὐθὲν λέγει καὶ ὅτι αὐτὸς πάντα οἶδεν καὶ ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ἐπιβάλλειν· 3 ‘εἶπας σύ; μὴ ἐπιλάθῃ, ὃ μέλλεις λέγειν,’ καὶ ‘εὖ γε, ὅτι με ὑπέμνησας’ καὶ ‘τὸ λαλεῖν ὡς χρήσιμόν που’ καὶ ‘ὃ παρέλιπον’ καὶ ‘ταχύ γε συνῆκας τὸ πρᾶγμα’ καὶ 10 ‘πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ’, καὶ ἑτέρας ἀρχὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀνα-

---

ἐν ᾧ τὰ γράμματα εἴτουν [ἤγουν M] τὰς ψήφους ἀπετίθεσαν [item fere M].

M : Περὶ λαλιᾶς ζ′. Ἡ λαλιά ἐστιν ἀκρασία λόγων· ὁ δὲ λάλος οἷος ἐμποδὼν γενόμενος παντὶ τῷ ἐντυγχάνοντι. καὶ ἁπλῶς ἀκαίρων λόγων φορητός.

---

26 δραγμῆς B 27 ἡμιβόλια A πράττεσθαι recc. : πλάττεσθαι A B 28 τὰ δὲ ἰχθυοπώλια A τόκους] χαλκοῦς Casaubon 29 ἐμπωλήματος B ἐπιλέγειν Hemsterhuis 30 πρὸς B : εἰς A

VII. 3 τις B : ἐστι τίς A 5 οὐθὲν B : οὐδὲν A 6 αὐτοῦ A B ἀποκριναμένῳ A B : corr. recc. ἐπιβάλλειν A B (cf. viii 2) : ὑποβάλλειν recc. 7 εἶπας· σὺ μὴ distinxerunt recc. 10 ἐμοὶ om. A 11 ἀρχὰς corrupte A B : ἀφορμὰς recc. : ταραχὰς conieci ; ceterum haec et proxima excerptoris esse videntur

4 πτεῦσαι τὸν ἐντυγχάνοντα. καὶ ὅταν γε τοὺς καθ' ἕνα
ἀπογυμνώσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας
πορευθῆναι καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας.
5 καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιὼν 15
κωλύειν τοὺς παῖδας προμανθάνειν· τοσαῦτα καὶ προσλαλεῖ
6 τοῖς παιδοτρίβαις καὶ διδασκάλοις. καὶ τοὺς ἀπιέναι φάσκον-
τας δεινὸς προπέμψαι καὶ ἀποκαταστῆσαι εἰς τὰς οἰκίας.
7 καὶ πυθόμενος ⟨τὰ ἀπὸ⟩ τῆς ἐκκλησίας ἀπαγγέλλειν, προσ-
διηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντος τότε γενομένην 20
τοῦ ῥήτορος μάχην καὶ τὴν Λακεδαιμονίοις ὑπὸ Λυσάνδρου,
καὶ οὕς ποτε λόγους αὐτὸς εἶπας εὐδοκίμησεν ἐν τῷ δήμῳ.
8 καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος κατηγορίαν
παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι ἢ
9 νυστάξαι ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. καὶ 25
συνδικάζων δὲ κωλῦσαι κρῖναι καὶ συνθεωρῶν θεάσασθαι
καὶ συνδειπνῶν φαγεῖν λέγων, ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ
σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα, καὶ ὅτι οὐκ ἂν
σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν εἶναι λαλίστερος.
10 καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, 30
ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενα κελεύῃ λέγοντα ταῦτα·
'λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.'

13 ἀπογυμνώσῃ A B: ἀποκναίσῃ recc.: ἀπογυιώσῃ Pauw ἀθρόους καὶ sic A B: καὶ delebat Meineke 16 προσμανθάνειν Auber τοσαῦτα καὶ προσλαλεῖν sic A B: correxi; nam sic loquitur iste excerptor viii 15 extr. 18 ἐκ τῆς οἰκίας A B: εἰς τὴν οἰκίαν recc.: corr. Ribbeck 19 ⟨τὰ ἀπὸ⟩ τῆς Kayser (cf. iv 3): τῆς A B: ⟨τὰ⟩ τῆς Petersen προδιηγήσασθαι A B: corr. recc. 20 τότε A B: ποτὲ recc. 21 τοῦ ῥήτορος A B: τοῖν ῥητόροιν conieci (cf. Dem. d. coron. 226 ῥητόρων ἀγῶνα): τοῖς ῥήτορσι Holland καὶ τὴν . . . Λυσάνδρου inepte interpolata vidit Hottinger; Theophrastus fortasse Antipatri ad Megalopolin sub eodem archonte victoriam significaverat 22 εἶπας A: εἶπεν sic B: corr. Casaubon εὐδοκίμησαν A B: corr. recc. 23 § 8 agnoscas excerptoris orationem 29 δόξειεν ἂν εἶναι A 30 αὐτοῦ A B 31 ταῦτα A B: πάππα Sylburg: τατᾶ Ribbeck: ἄττα Casaubon 32 ὑμᾶς A

Ἡ δὲ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ 1
πράξεων, ὧν ⟨πιστεύεσθαι⟩ βούλεται ὁ λογοποιῶν, ὁ δὲ
λογοποιὸς τοιοῦτός τις, οἷος ἀπαντήσας τῷ φίλῳ εὐθὺς 2
5 καταβαλὼν τὸ ἦθος καὶ μειδιάσας ἐρωτῆσαι· 'πόθεν σύ'; 3
καὶ 'λέγεις τί καὶ πῶς'; 'ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν'; 4
καὶ ὡς ἐπιβαλὼν ἐρωτᾶν· 'μὴ λέγεταί τι καινότερον; καὶ
μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα.' καὶ οὐκ ἐάσας ἀπο- 5
κρίνασθαι εἰπεῖν· 'τί λέγεις; οὐθὲν ἀκήκοας; δοκῶ μοί σε
10 εὐωχήσειν καινῶν λόγων.' καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης 6
ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ ἢ Λύκων ὁ ἐργολάβος παρα-
γεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησιν ἀκηκοέναι. αἱ μὲν 7
οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐθεὶς
ἂν ἔχοι ἐπιλαβέσθαι. διηγεῖται δὲ τούτους φάσκων λέγειν, 8
15 ὡς Πολυπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκεν, καὶ
Κάσανδρος ἐζώγρηται· καὶ ἂν εἴπῃ τις αὐτῷ· 'σὺ δὲ ταῦτα 9
πιστεύεις;' φήσει· τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει,
καὶ τὸν λόγον ἐπεντείνειν, καὶ πάντας συμφωνεῖν· ταὐτὰ
γὰρ λέγειν περὶ τῆς μάχης· καὶ πολὺν τὸν ζωμὸν γεγονέναι.

M : Π (vacuus titulus, volebat περὶ λογοποιίας) Ἡ δὲ λογοποιία σύνθεσις ἐστι ψευδῶν λόγων καὶ πράξεων. ἀπό τινων ἀφορμὴν λαμβάνουσα καὶ συμπλάττουσα τέρατα οἷον πολυπέρχων νενίκηκε. κάσανδρος ἐζώγρηται. καὶ προστίθησιν, εἴ τις ἐρωτώη. σὺ δὲ (vel δὴ) ταῦτα πιστεῦ (πιστεύεις

VIII. 3 ⟨πιστεύεσθαι⟩ supplevi 4 τῷ A B : τῳ Eberhard 5 καταβαλὼν] mire (sc. τὰς ὀφρῦς?) : μεταβαλὼν Casaubon 6 πῶς del. recc. : πῶς ⟨ἔχεις' καὶ⟩ Usener 7 ὡς del. recc. : ὡς ⟨τάχος⟩ conieci 9 οὐθὲν sic A B 10 εὐωχῆσαι A 11 παραγεγονὸς B 12 αἱ μὲν οὖν] hinc excerptorem odoreris ; etiam indicativi a norma abhorrent 13 οὐθεὶς sic A B 14 ἐπιλαθέσθαι A B : corr. Casaubon δὲ B : om. A 15 πολυπέρχων sic B (cf. M) : πολυσπέρχων A μάχῃ B : μάχην A 17 φησί (says yes) coni. Hanow apte ut in excerptoris oratione τὸ πρᾶγμα κτλ.] haec plane depravata excerptoris culpa 18 ἐπεντείνειν in textu B : ἐπεντείνει A et in marg. antiquae manus varia lectio B πάντας Casaubon : παν̄ ambigue A : πάντα B ταὐτὰ Casaubon : ταῦτα sic A B

THE INSTITUTE OF MEDIAEVAL STUDIES
ST. MICHAEL'S COLLEGE
LIBRARY

8 εἶναι δ' ἑαυτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα· λέγει δ', ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας, ὃς
9 πάντα ταῦτα οἶδε. καὶ πάντα διεξιὼν πως οἴεσθαι πιθανῶς σχετλιάζειν λέγων· 'δυστυχὴς Κάσανδρος· ὦ ταλαίπωρος·
10 ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος.' καί 'δεῖ δ' αὐτόν σε μόνον εἰδέναι'· πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων.

11 Τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσι-
12 τελῶς ἀπαλλάττουσι· πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι τὰ ἱμάτια ἀποβεβλήκασιν, οἱ δ' ⟨ἐν⟩ τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες ἐρήμους
13 δίκας ὠφλήκασιν· εἰσὶ δ' οἳ καὶ πόλεις τῷ λόγῳ κατὰ
14 κράτος αἱροῦντες παρεδειπνήθησαν. πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐκ ἐνημερεύουσιν
15 ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας· οὕτως καὶ καταπονοῦσι ταῖς ψευδολογίαις.

---

an πιστεύειν?). σημεῖον τὰ πρόσωπα πάντων μεταβαλόντα. καὶ ὡς ἠκηκόει τινὰ κρυπτόμενον ἐν οἰκίᾳ εἰδότα. καὶ πιθανῶς σχετλιάζων ἐπάγειν δυστυχὴς κάσανδρος. καὶ ὅσα τοιαῦτα:

---

20 δὲ αὐτῷ A B 21 αὐτῶν B: αὐτὸν A: αὐτὸς Wilamowitz: αὐτὰ Kayser 24 οἶδε A B M: εἶδε recc. καὶ πάντα B: καὶ ταῦτα πάντα A: καὶ ταῦθ' ἅμα recc. πως scripsi: πῶς A B οἴεσθαι A B: οἴεσθε inepte recc. '*haec dum aliquo modo enarrat, apte se ad persuadendum lamentari opinatur, cum dicit*'; excerptoris balba oratio πιθανῶς B: om. A 26 ἰσχυρὸς γενόμενος (γινόμενος ut vid. B) A B: ἰσχυρῶς γ' ἀμυνάμενος Wilamowitz ἀλλ' A B: ἄλλως Auber (explicaretur *frustra*) 27 δεῖ δ' αὐτόν γε B: δεῖ τ' αὐτόν γε A: corr. recc. 28 προσδεδραμηκέναι A: προὐδεδραμήκει Schneider 29–39 epilogus totus excerptoris 29 ποτε om. A 30 post γὰρ add. καὶ A ἀλυσιτελῶς recc.: λυσιτελῶς A B 31 ἀπαλάττουσι A: πλάττουσι Nauck, cf. Praef. p. vii 33 δ' ἐν recc.: δὲ A B 34 πόλεις τῷ Casaubon—Needham: πλεῖστοι A B 36 ποίᾳ . . . στοᾷ scripsi: ποία . . . στοᾶ B: ποία . . . στοά A, corr. B 37 ποίῳ δὲ μέρει sic A B οὐκ ἐνημερεύουσιν scripsi: οὐ διημερεύουσιν A B: οὐκ ἐνδιημερεύουσιν Schneider 38 οὕτως καὶ] cf. vii 4 n. 16

Ἡ δὲ ἀναισχυντία ἐστὶ μέν, ὡς ὅρῳ λαβεῖν, κατα- 1
φρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους, ὁ δὲ ἀναίσχυντος
τοιοῦτός ⟨τις⟩, οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον 2
5 ἀπελθὼν δανείζεσθαι, εἶτα θύσας τοῖς θεοῖς αὐτὸς μὲν
δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας.
καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς τραπέζης 3
ἄρας κρέας καὶ ἄρτον καὶ εἰπεῖν ἀκουόντων πάντων·
'εὐωχοῦ, Τίβειε.' καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεω- 4
10 πώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονε, καὶ ἑστηκὼς πρὸς τῷ
σταθμῷ μάλιστα μὲν κρέας, εἰ δὲ μή, ὁστοῦν εἰς τὸν ζωμὸν
ἐμβαλεῖν, καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει, εἰ δὲ μή, ἁρπάσας
ἀπὸ τῆς τραπέζης χολίκιον ἅμα γελῶν ἀπαλλάττεσθαι.
καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας μὴ δοὺς τὸ μέρος 5
15 θεωρεῖν, ἄγειν δὲ καὶ τοὺς υἱεῖς ⟨εἰς⟩ τὴν ὑστεραίαν καὶ
τὸν παιδαγωγόν. καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μετα- 6
δοῦναι κελεῦσαι καὶ αὐτῷ. καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν 7
ἐλθὼν δανείζεσθαι κριθάς, ποτὲ ⟨δὲ⟩ ἄχυρα, καὶ ταῦτα
⟨τοὺς⟩ χρήσαντας ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. δεινὸς 8
20 δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν
καὶ βάψας ἀρύταιναν βοῶντος τοῦ βαλανέως αὐτὸς αὐτοῦ

M : Π (vac. tit., volebat *ἐρὶ ἀναισχυντίας*) *Ἡ δὲ ἀναισχυντία καταφρόνησις ἐστι δόξης αἰχρῇ* (?) *ἕνεκα κέρδους. οἷον εἴ τις που κεκλημένος, ἄρας ἀπὸ τραπέζης δοῦναι τῷ ἑπομένῳ. λέγων εὐωχοῦ τίβιε. καὶ ὀψωνῶν ἐστὼς πρὸς τῷ σταθμῷ συλλαλεῖν φιλικῶς ἕως ἄρη τι πλέον. ἢ καὶ ἁρπάσας γελῶν. καὶ*

IX. 3 *κέρδους εἵνεκα* A 4 ⟨*τις*⟩ addidi *οἷον* sic A B : corr. recc. *ἀποστερεῖται* A 5 *δανείζεται* sic A B : corr. recc. post *εἶτα* lacunam sign. Holland 8 *ἄρτον καὶ κρέας ἄρας* A 9 *Τίβειε* scripsi (cf. Praef. p. xi n. 1) : *τίβιε* M : *τίμιε* B : *τιμιώτατε* A 12 *εὖ ἔχει* del. Kayser 14 *αὐτοῦ* A B 15 *τοὺς υἱεῖς εἰς* recc. : *τοὺς ὡς εἰς* A : *τοὺς εἰς* B 17 *αὐτῷ* A B 18 ⟨*δὲ*⟩ suppl. recc. : om. A B *ἄχυρα* sic A B 19 ⟨*τοὺς*⟩ M : om. A B *ἀποφέρειν* B : *φέρειν* sic A *αὐτόν* A B 20 *προσελθεῖν* A 21 *αὐτὸς αὐτοῦ* A B

καταχέασθαι καὶ εἰπεῖν ὅτι λέλουται ἀπιὼν κἀκεῖ 'οὐδεμία σοι χάρις'.

X ΜΙΚΡΟΛΟΓΙΑΣ Γ'

1 Ἔστι δὲ ἡ μικρολογία φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν
2 καιρόν, ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ
3 ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν. καὶ [ὁ] συσσιτῶν
ἀριθμεῖν τὰς κύλικας, πόσας ἕκαστος πέπωκε, καὶ ἀπάρχε- 5
4 σθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. καὶ ὅσα
5 μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκων εἶναι. καὶ
οἰκέτου χύτραν [εἶναι] ἢ λοπάδα κατάξαντος εἰσπρᾶξαι ἀπὸ
6 τῶν ἐπιτηδείων. καὶ τῆς γυναικὸς ἐκβαλούσης τρίχαλκον
οἶος μεταφέρειν τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτοὺς 10
7 καὶ διφᾶν τὰ καλύμματα. καὶ ἐάν τι πωλῇ, τοσούτου
8 ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. καὶ οὐκ ἂν
ἐᾶσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὐτοῦ κήπου οὔτε διὰ τοῦ
αὐτοῦ ἀγροῦ πορευθῆναι οὔτε ἐλάαν ἢ φοίνικα τῶν χαμαὶ

δανειζόμενός τι πρὸς γειτόνων τοὺς χρῶντας ἀναγκάζειν κομίζειν. καὶ ὅσα δῆτα ἔγνωμεν (?) αἰσχροκερδείας ἔργα:

Schol. M ad v. 9 Τίβειε: τίβιε δουλικὸν ὄνομα ὡς καὶ δρόμων καὶ γέτας καὶ τὰ τοιαῦτα.

M: Π (tit. vac.) Ἡ μακρολογία ἐοικε φειδωλία διαφόρου παρὰ καιρόν. οἷον διφᾶν τινα τὰ ἐν οἴκω μηδ' ἐᾶν διὰ τοῦ αὐτοῦ ἀγροῦ πορεύεσθαι ἐφ' ὧ

---

22 ὅτι λέλουμαι Herwerden: ὅτε λέλουται Pauw ἀπιὼν κακεῖ (sic A B) corrupta aut mutila: ἀπιὼν κἀκείνου Edmonds: προῖκα καὶ Usener: ἀπιών· κάλει Pauw: Herwerdenum secuti 'λέλουμαι καλῶς' καὶ 'οὐδεμία Fraenkel et Groeneboem: λέλουται', κᾶτα ἀπιών 'οὐδεμία Jebb

X. 4 ἐπὶ τῇ οἰκίᾳ Casaubon: ⟨ἐλθὼν⟩ ἐπὶ τὴν οἰκίαν recc.: ἐπιτοκίαν Unger ὁ συσσιτῶν A B: ὁ del. recc.: ὁμοσιτῶν Dietrich 5 τὰς κύλικας recc.: τε κύλικας (κοίλικας B) A B 7 λογίζεται sic A B πάντα corrupte A B: περιττὰ (ἥττα = ἧτα) conieci 8 [εἶναι] del. recc. 10 καὶ (post κλίνας) habent A B τοὺς κιβωτοὺς A 11 τοσούτας A B: corr. recc. 13 ἐάσας A B: corr. recc. αὐτοῦ A B κήπου A: σκοποῦ B 14 ἐλαίαν A B φοίνικα excerptoris est, cf. Praef. p. vii χαμαὶ πεπτωκότων B: χαμαικειμένων A: χαμαιπετῶν Cobet

πεπτωκότων ἀνελέσθαι. καὶ τοὺς ὅρους δ' ἐπισκοπεῖσθαι 9
ὁσημέραι εἰ διαμένουσιν οἱ αὐτοί. δεινὸς δὲ καὶ ὑπερη- 10
μερίαν πρᾶξαι καὶ τόκον τόκου. καὶ ἑστιῶν τοὺς δημότας 11
μικρὰ τὰ κρέα κόψας παραθεῖναι. καὶ ὀψωνῶν μηθὲν 12
πριάμενος εἰσελθεῖν. καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ μήτε 13
ἅλας χρηννύειν μήτε ἐλλύχνιον μήτε κύμινον μήτε ὀρίγανον
μήτε ὀλὰς μήτε στέμματα μήτε θυηλήματα, ἀλλὰ λέγειν,
ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ.

Καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας 14
ἔστιν ἰδεῖν εὐρωτιώσας καὶ τὰς κλεῖς ἰωμένας, καὶ αὐτοὺς
δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυ-
θίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους,
καὶ τὸ μέσον τῆς ἡμέρας ὑποδουμένους, καὶ πρὸς τοὺς
γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν
γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

ΒΔΕΛΥΡΙΑΣ ΙΑ′ XI

Οὐ χαλεπὸν δέ ἐστι τὴν βδελυρίαν διορίσασθαι· ἔστι 1
γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος, ὁ δὲ βδελυρὸς
τοιοῦτός ⟨τις⟩, οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυρά- 2
μενος δεῖξαι τὸ αἰδοῖον. καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ 3

μὴ συκοτραγ̅ (i. e. συκοτραγήση) τις. καὶ ἀπαγορεύειν τῇ γυναικὶ μὴ διδόναι ὀλὰς ἢ στέμμα ἢ θυηλήματα.

M : Περὶ βδελυρίας ια′. Ἡ βδελυρία παιδιά ἐστιν ἐπονείδιστος. οἷον τὸ ἐνώπιον γυναικῶν ἀνασυράμενος ὑποδεικνύειν τὰ αἰδοῖα τὸ ἐν θεάτρω κροτεῖν

---

17 ἑστιῶν τοὺς Needham : ἑστιῶντας sic A : ἑστιῶν B 18 μηδὲν A 20 χρηννύειν Foss (cf. v 10) : χρωννύειν A B 21 ὀλὰς M : οὐλὰς A B θυηλήματα A B (recte, cf. Inscr. miles. ed. Wilamowitz *Berl. Sitzungsber.* 1904, 619 ; Stengel *Herm.* 39, 614) 23 epilogum § 14 suis verbis excerptor e Theophrasto concinnavit 24 ἰδεῖν sic A B ἰουμένας Blaydes 25 μικρῶν A B (cf. Sapph. fr. 91. 7) : μηρῶν vix recte Stephanus 27 τὸ μέσον] cf. xxvi 4 ὑποδουμένους B : ὑποδῦμένους sic A : ὑπολυομένους recc., Cobet *Mnem.* ii 45 29 ῥυπαίνητε A

XI. 3 παιδιὰ] ἀναίδεια Naber 4 ⟨τις⟩ supplevi : om. A B ἀνασυρόμενος B

ἄλλοι παύωνται, καὶ σιρίττειν, οὓς ἡδέως θεωροῦσιν οἱ
λοιποί· καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν,
4 ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. καὶ πλη-
θούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα ἢ τὰ μύρτα
ἢ τὰ ἀκρόδρυα ἑστηκὼς τραγηματίζεσθαι, ἅμα τῷ πωλοῦντι 10
προσλαλῶν· καὶ καλέσαι δὲ τῶν παρόντων ὀνομαστί τινα,
5 ᾧ μὴ συνήθης ἐστί. καὶ σπεύδοντας δέ που ὁρῶν ⟨περι-
6 μεῖναι κελεῦσαι⟩. καὶ ἡττωμένῳ δὲ μεγάλην δίκην ἀπιόντι
7 ἀπὸ τοῦ δικαστηρίου προσελθεῖν καὶ συνησθῆναι. καὶ
ὀψωνεῖν ἑαυτῷ καὶ αὐλητρίδας μισθοῦσθαι καὶ δεικνύειν 15
δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα καὶ παρακαλεῖν ἐπὶ ταῦτα.
8 καὶ διηγεῖσθαι προσστὰς πρὸς κουρεῖον ἢ μυροπώλιον, ὅτι
μεθύσκεσθαι μέλλει.

XII ΑΚΑΙΡΙΑΣ ΙΒ′

1 Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς
2 ἐντυγχάνοντας, ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ
3 προσελθὼν ἀνακοινοῦσθαι. καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην

τῶν ἄλλων παυόντων. καὶ συρίττειν. καὶ ὅταν σιγήσῃ τὸ θέατρον ἀνακύψαντα ἐρυγεῖν. δεικνύειν τὰ ἐωνημένα καὶ τὸ ἐπ' ἀγορᾶς τραγηματίζεσθαι (sequitur exc. c. xxx: καὶ ἀποδημοῦντα δημοσία τὸ ἐκ τῆς πόλεως ἐφόδιον καταλιπεῖν οἴκοι, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι καὶ ὅσα παρόμοια).

M: Περὶ ἀκαιρίας ιβ′. Ἡ ἀκαιρία ἔντευξίς ἐστι λυποῦσα τὸν ἐντυγχάνοντα οἷον τὸ κωμάζειν ἐρωμένην πυρέττουσαν. καὶ ἀσχολουμένῳ

---

6 παύονται A 7 λοιποί A. suprascr. B: πολλοί text. B 8 μεταστραφῆναι ποιήσῃ A 9 ἢ (post κάρυα) B: καὶ A 12 σύνηθες A περιμεῖναι κελεῦσαι suppl. recc.: om. A B 14 post συνησθῆναι continuaverat δὲ, sed statim corr. καὶ A 15 ἑαυτῷ Casaubon: ἑαυτὸν sic A B: αὐτὸς (*solus*) Furlanus: ⟨αὐτὸς⟩ ἑαυτῷ Cobet 16 ὀψωνημένα B 17 προστὰς A B 18 μεθύσθαι, statim corr., sic A deest extremum acumen, quod desideres: ubi invitati ad cenam paratam veniunt, ipsos exclusos ac derisos esse comperiunt. nimirum resecta est capitis clausula; in eius locum praecepta est ex c. xxx 5–16 ecloga, de qua infra

XII. 1 tit. ΙΒ′] B A 2 ἔντευξις M 4 αὐτοῦ A B

κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσ- 4
ελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων 5
παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος 6
εἰς γάμους τοῦ γυναικείου γένους κατηγορεῖν. καὶ ἐκ μακρᾶς 7
ὁδοῦ ἥκοντα ἄρτι παρακαλεῖν εἰς περίπατον. δεινὸς 8
δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. 9
καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς 10
διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί 11
τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι. καὶ θύοντας καὶ 12
ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων. καὶ μαστιγουμένου
οἰκέτου παρεστὼς διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτως 13
πληγὰς λαβὼν ἀπήγξατο. καὶ παρὼν διαίτῃ συγκρούειν, 14
ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησόμενος 15
ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος.

ΠΕΡΙΕΡΓΙΑΣ ΙΓ′ XIII

Ἀμέλει ⟨ἡ⟩ περιεργία δόξει εἶναι προσποίησίς τις λόγων 1
καὶ πράξεων μετὰ εὐνοίας, ὁ δὲ περίεργος τοιοῦτός τις,
⟨οἷος⟩ ἐπαγγέλλεσθαι [ἀναστάς], ἃ μὴ δυνήσεται. καὶ 2, 3
ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἀνταναστὰς

κοινοῦσθαι καὶ παρεῖναι μαρτυρήσοντα τῷ (?) ἤδη κεκριμένῳ (?) ἐν γάμοις τε τοῦ γυναικείου (?) μέρους κατηγορεῖν. καὶ μαστιγουμένου οἰκέτου. διηγεῖσθαι αὐτὸν ὅπως ὁ ἐκείνου μαστιζόμενος τέθνηκεν οἰκέτης.

M : Περὶ περιεργίας ιγ′. Ἡ περιεργία προσπίησίς ἐστι λόγων καὶ πράξεων μετ' εὐνοίας· οἷον τὸ ἐπαγγέλλεσθαί τινα τὰ ὑπὲρ δύναμιν ἢ ἀναγκάζειν

---

5 ὠφληκότι Pauw 6 αὐτὸν A B 9 ἥκοντα clare B : ἥκον A 11 post μεμαθηκότας falso praecepta ex v. 13 sq. καὶ ἀναλίσκοντας punctis ipse del. A 12 προθύμως Blaydes 13 καὶ ante θύοντας) A B : ὡς Casaubon 14 ἥκειν Auber : ἥκων sic A B 15 αὐτοῦ A B οὕτως sic A B 17 ὀρχησόμενος Casaubon : ὀρχησάμενος A B

XIII. 2 ⟨ἡ⟩ suppl. Buecheler δόξειεν ⟨ἀν⟩ recc. 3 μετὰ sic A B 4 ⟨οἷος⟩ suppl. recc. ἀναστὰς seclusi ; est varia lectio corrupti ἔν τινι στὰς (v. 5) 5 τοῦ] an του? ἀνταναστὰς scripsi (cf. ἀναστὰς v. 4) : ἔν τινι στὰς A B : ἐνστὰς vel ἀντιστὰς Reiske

4 ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι,
5 ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. καὶ διείργειν τοὺς
6 μαχομένους, καὶ οὓς οὐ γιγνώσκει. καὶ ἀτραποῦ ἡγήσασθαι,
7 εἶτα μὴ δύνασθαι εὑρεῖν, οὗ πορεύεται. καὶ τὸν στρατηγὸν
προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί 10
8 μετὰ τὴν αὔριον παραγγελεῖ. καὶ προσελθὼν τῷ πατρὶ
9 εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. καὶ
ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλα-
κιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν εὐτρεπίσαι
10 τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι 15
ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς
μητρὸς καὶ αὐτῆς ⟨τῆς⟩ γυναικὸς τοὔνομα καὶ ποδαπή ἐστι,
11 καὶ προσεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν· καὶ
ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι 'καὶ
πρότερον πολλάκις ὀμώμοκα'. 20

XIV ΑΝΑΙΣΘΗΣΙΑΣ ΙΔ'

1 Ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς
2 ἐν λόγοις καὶ πράξεσιν, ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος
λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας ἐρωτᾶν

τινὰ ἐν τοῖς ὑπὲρ δύναμιν καὶ ἀτραποῦ ἡγεῖσθαι τὴν ὁδὸν καταλιπόντα. εἶτα μὴ δύνασθαι εὑρεῖν οὗ πορεύηται. ἢ στρατηγὸν ἐρωτᾶν πότε παρατετάξεται. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ καὶ ἀπαγορεύοντος ἰατροῦ μὴ δοῦναι οἶνον τῷ μαλακιζομένῳ. ἐκεῖνον φάναι βούλεσθαι διάπειραν λαβεῖν.

M : Περὶ ἀναισθησίας ιδ'. Ἡ ἀναισθησία βραδύτης ἐστι ψυχῆς ἐν λόγῳ καὶ πράξει, οἷον εἴ τις συμψηφισάμενος ἐρωτῴη τὸν παρακαθήμενον. ὅσον τὸ

---

7 διείργειν A B : διεγείρειν recc. 8 γινώσκει A B ἡγήσασθαι τὴν ὁδὸν καταλιπών ex M Lipsienses 9 οὗ πορεύηται M : οἷ (vel ῃ) πορεύεται Casaubon 11 παραγγελεῖ recc. : παραγγέλλει A B 13 μαλακιζομένῳ A : καλλωπιζομένῳ B 14 φῆσαι Schwarz εὐτρεπίσαι A B (defendebat Wendland *Philolog.* 57, 117) : εὖ ποτίσαι bene Foss 17 αὐτῆς ⟨τῆς⟩ recc. : αὖ τῆς A B ποταπή A B 19 περιεστηκότας clare B : παρεστηκότας A

XIV. 2 δὲ ἡ recc. : δὲ καὶ ἡ A : καὶ ἡ B 3 λόγῳ A 4 ante ταῖς habet τις A

5 τὸν παρακαθήμενον· ‘τί γίγνεται’; καὶ δίκην φεύγων καὶ 3
ταύτην εἰσιέναι μέλλων ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι.
καὶ θεωρῶν ἐν τῷ θεάτρῳ μόνος καταλείπεσθαι καθεύδων. καὶ 4
πολλὰ φαγών, τῆς νυκτὸς ⟨ἀναστὰς⟩ ὡς ἐπὶ θάκου ὑπὸ κυνὸς τῆς 5
τοῦ γείτονος δηχθῆναι. καὶ λαβών ⟨τι⟩ καὶ ἀποθεὶς αὐτός, 6
10 τοῦτο ζητεῖν καὶ μὴ δύνασθαι εὑρεῖν. καὶ ἀπαγγέλλοντος 7
αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παραγένηται,
σκυθρωπάσας καὶ δακρύσας εἰπεῖν· ‘ἀγαθῇ τύχῃ.’ δεινὸς 8
δὲ καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον μάρτυρας παρα-
λαβεῖν. καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδί, ὅτι σικύους 9
15 οὐκ ἠγόρασεν. καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων 10
καὶ τροχάζειν [καὶ] εἰς κόπον ἐμβαλεῖν. καὶ ἐν ἀγρῷ αὐτὸς 11
φακῆν ἕψων δὶς ἅλας εἰς τὴν χύτραν ἐμβαλὼν ἄβρωτον
ποιῆσαι. καὶ ὕοντος τοῦ Διὸς εἰπεῖν· ‘ἡδύ γε τῶν ἄστρων 12
νομίζει,’ ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης. καὶ λέγοντός 13
20 τινος· ‘πόσους οἴει κατὰ τὰς Ἱερὰς πύλας ἐξενηνέχθαι
νεκρούς;’ πρὸς τοῦτον εἰπεῖν· ‘ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο.’

κεφάλαιον. καὶ εἰσιέναι μέλλων εἰς δίκην. ἐκλαθόμενος εἰς ἀγρὸν πορεύοιτο. καὶ ἐν θεάτρω καταληφθεὶς ὑπνώσας. καὶ ἀποθεί τι οὐχ εὑρίσκι (?). καὶ ἀκούων τελευτῆσαι (?) τινας. ἀγαθῇ φήσειε τύχῃ. καὶ ὅσα τοιαῦτα:

---

5 γίνεται A B 8 ⟨ἀναστὰς⟩ ὡς scripsi : καὶ (compend.) A B : καὶ post φαγὼν trai. Salmasius, ἀνιστάμενος post θάκου recc. θᾶκον (ut Hippocr. Epid. vii 84, v 442, 11 Littr.) Wilamowitz ὑπὸ ⟨τῆς⟩ Edmonds 9 τι Gesner (cf. M) : om. A B 10 post ἀπαγγέλλοντος add. otiose τινὸς recc. 15 ἑαυτῷ Foss : ⟨τὰ⟩ ἑαυτοῦ Edmonds 16 καὶ (ante εἰς) del. recc. κόπον ἐμβαλεῖν B : κόπους ἐμβάλλειν A ; καὶ ἐπὶ σκοποῦ βάλλειν coni. Hanow αὐτὸς recc. : αὐτοῖς A B 18 ἥδυ γε, ἥδυ in litura A locus conclamatus : τῶν ἄστρων [ἀγρῶν Blaydes] ὄζει, ὅτε [sufficit ὅτι] δὴ καὶ [καὶ om. A] οἱ ἄλλοι λέγουσι ‘τῆς γῆς’ Corais (cf. Cratin. iun. 1 ; ii 289 K. Plin. N. H. xvii 38) 20 ἱερὰς A B (cf. Plut. Sull. 14, 5) : Ἡρίας Meursius (cf. Etym. M. s. v.) ἐξενηνέχθαι B : ἐξενεχθῆναι A

XV ΑΥΘΑΔΕΙΑΣ ΙΕ'

1 Ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις, ὁ δὲ
2 αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθείς· 'ὁ δεῖνα ποῦ ἐστιν;'
3 εἰπεῖν· 'πράγματά μοι μὴ πάρεχε'· καὶ προσαγορευθεὶς
4 μὴ ἀντιπροσειπεῖν. ⟨καὶ⟩ πωλῶν τι μὴ λέγειν τοῖς ὠνου- 5
5 μένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν, τί εὑρίσκει. καὶ
τοῖς τιμῶσι καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ
6 ἂν γένοιτο διδόμενα· καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ
ἀπώσαντι αὐτὸν ἀκουσίως [οὔτε τῷ ὤσαντι] οὔτε τῷ ἐμβάντι.
7 καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν εἰπών, ὅτι οὐκ 10
ἂν δοίη, ὕστερον ἥκειν φέρων καὶ λέγειν, ὅτι ἀπόλλυσι καὶ
8 τοῦτο τὸ ἀργύριον. καὶ προσπταίσας ἐν τῇ ὁδῷ δεινὸς
9 καταράσασθαι τῷ λίθῳ· καὶ [ἀναμεῖναι] οὐκ ἂν ὑπομεῖναι
10 πολὺν χρόνον οὐθένα. καὶ οὔτε ᾆσαι οὔτε ῥῆσιν εἰπεῖν
11 οὔτε ὀρχήσασθαι ἂν ἠθέλησε. δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ 15
ἐπεύχεσθαι.

M: Περὶ αὐθαδείας ιε'. Ἡ αὐθάδεια ἀπήνειά ἐστιν ὁμιλίας ἐν λόγοις. οἷον εἴ τις ἐρωτώμενος μὴ δὲ ἀποκρίνοιτο. καὶ προσαγορευόμενος μὴ ἀντιπροσαγορεῦσαι.

XV. 4 μοι μὴ πάρεχε B : μοι παρέσχε A 5 ⟨καὶ⟩ recc. : om. A B 8 γεύοιτο διδομένων Bernard-Reiske : δέχοιτο διδόμενα Petersen : γ' ἕλοιτο διδόμενα Corais : γένοιτο ⟨ἀντι⟩διδόμενα conieci ἔχειν Lycius : ἔχων A B 9 ἀπώσαντι A B (cf. Praef. p. xiii) : ῥυπώσαντι Laur. 86, 3 ἀκουσίως sic A : ἑκουσίως B οὔτε τῷ ὤσαντι A B : del. Petersen ; est coniectura ignorantis quid sit ἀπώσαντι 12 προσπαίσας sic A δεινὸς A : δεινὸν B 13 ἀναμεῖναι ⟨ἀναμῆναι B⟩ A B : variam lectionem vocis ὑπομεῖναι del. Reiske 14 οὐθένα sic A B καὶ οὔτε ἐάσαι A : οὔτε ἄσαι B 15 ἠθέλησε B : ἠθέλησεν A : θελῆσαι recc. : ἐθελήσειεν Petersen : verum videtur ἐθελῆσαι de § 11 cf. Praef. xxi

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ⟨ἂν⟩ εἶναι δειλία πρὸς τὸ δαιμόνιον, ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος ἐπιχρωνῆν ἀπονιψάμενος τὰς χεῖρας καὶ περιρρανάμενος ἀπὸ ἱεροῦ δάφνην εἰς τὸ στόμα λαβὼν οὕτω τὴν ἡμέραν περιπατεῖν. καὶ τὴν ὁδὸν ἐὰν ὑπερδράμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἐὰν παρείαν, Σαβάδιον καλεῖν, ἐὰν δὲ ἱερόν, ἐνταῦθα ἡρῷον εὐθὺς ἱδρύσασθαι. καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας ἀπαλλάττεσθαι. καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν ἐρωτᾶν, τί χρὴ ποιεῖν· καὶ ἐὰν ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιρράψαι, μὴ προσέχειν τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκθύσασθαι. καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθᾶραι δεινὸς Ἑκάτης φάσκων ἐπαγωγὴν γεγονέναι· κἂν γλαῦκες βαδίζοντος αὐτοῦ ⟨ἀνακράγωσι⟩,

---

M: Περὶ δεισιδαιμονίας ιϛ′. Ἡ δεισιδαιμονία δειλία τις ἐστι πρὸς τὸ δαιμόνιον ὥς τινες εἰ παραδραμούσης γαλῆς οὐ πορεύωνται ἕως διεξέλθῃ τὴν ὁδόν. ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαλάβῃ. ὁμοίως γλαῦκας δεδίττονται.

XVI. 1 tit. ἀπὸ τῶν τοῦ θεοφράστου χαρακτήρων, ιϛ′· χαρακτὴρ δεισιδαιμονίας: ⌣ V 2 ἂν om. V: suppl. recc. 3 ἐπιχρωνῆν V: Χοῶν mentionem latere credunt Duebner et Foss, ἐπὶ κρήνην (κρήνῃ) Siebenkees-Jebb, ἐπ' ἐννεακρούνου Hanow, ἐπιδὼν κορώνην Usener, περιτυχὼν νεκρῷ Herwerden: ἐπιθιγὼν ἠρίου Ilberg 4 ante ἱεροῦ litura (τοῦ erasum credunt) V 6 ὑπερδράμῃ Pauw: περιδράμῃ V: παραδράμῃ recc. 7 ἕως ⟨ἂν⟩ Cobet διαλάβῃ V: corr. Sylburg 8 καὶ ὅταν ἴδῃ Cobet ἐὰν ⟨μὲν⟩ παρείαν Ussing σαβάδιον V (cf. Kretschmer *Einl. in d. gr. Spr.* p. 196): Σαβάζιον ex xxvii 8 inde a Schneidero vulgo 9 ἡρῷον Duebner: ἱερῶον (ι in ras.) V 12 ἀλφίτων recc. (cf. Xen. Hell. i 7, 11; Babr. 108, 16): ἀλφίτην V: ἀλφιτηρὸν Preller διατράγῃ Hirschig (1849; cf. Clem. Strom. vii 4, 24) 15 ἀποτροπαίοις Wyttenbach ἐκλύσασθαι V: corr. Bernard 16 καθῆραι Cobet δεινῶς V: corr. Corais 17 ἀνακράγωσι suppl. Foss (cf. Menandr. fr. 534 K.): at periit fortasse rarius vocabulum ut Cobeti κακκαβίζωσι (Aristoph. Lys. 761) vel nostrum ἰύζωσι (Poll. 5, 90)

ταράττεσθαι καὶ εἴπας· ''Λθηνᾶ κρείττων' παρελθεῖν οὕτω.
9 καὶ οὔτε ἐπιβῆναι μνήματι οὔτ' ἐπὶ νεκρὸν οὔτ' ἐπὶ λεχὼ
ἐλθεῖν ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μιαίνεσθαι συμφέρον αὐτῷ
10 φήσαι εἶναι. καὶ ταῖς τετράσι δὲ καὶ ταῖς ἑβδομάσι προσ-
τάξας ῥῖνον ἕψειν τοῖς ἔνδον, ἐξελθὼν ἀγοράσαι μυρρίνας,
λιβανωτόν, πόπανα καὶ εἰσελθὼν εἴσω στεφανῶν τοὺς
11 Ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν. καὶ ὅταν ἐνύπνιον ἴδῃ,
πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς
τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων, τίνι θεῶν ἢ θεᾷ εὔχεσθαι
12 δεῖ. καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ
μῆνα πορεύεσθαι μετὰ τῆς γυναικὸς (ἐὰν δὲ μὴ σχολάζῃ
13 ἡ γυνή, μετὰ τῆς τίτθης) καὶ τῶν παίδων. καὶ τῶν
περιρραινομένων ἐπὶ θαλάττης ἐπιμελῶς δόξειεν ἂν εἶναι.
14 κἂν ποτε ἐπίδῃ σκορόδῳ ἐστεμμένον τῶν ἐπὶ ταῖς τριόδοις,
ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι καὶ ἱερείας καλέσας
15 σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι. μαινόμενον
δὲ ἰδὼν ἢ ἐπίληπτον φρίξας εἰς κόλπον πτύσαι.

καὶ ἐπιβῆναι μνήματι. ἢ νεκρῷ. καὶ τετράδας (inceperat τεσ . . .) καὶ ζ' (altera linea obscura) ἡμερῶν ἀσφαλίζονται μαινόμενον τε ἰδόντα, φρίξαντα εἰς κόλπον πτύσαι. καὶ σκύλλῃ ἢ σκύλακι περικαθάρασθαι :

---

18 ταράττεται V : corr. Corais εἴπας correctum in εἶπον V 20 ἀλλὰ] ἅμα (servato φήσας) Meineke μαίνεσθαι Siebenkees : μαίνεσθαι V αὐτῷ V 21 φήσας V : corr. Schneider ἑβδόμαις ⟨φθίνοντος⟩ Immisch 22 ἕψειν V : an ἠθεῖν ? μυρσίνας V 23 λιβανωτόν, πόπανα Foss : λιβανωτῶν πίνακα V : λιβ., στύρακα Meier post εἴσω lacunam statuit Hartung : suppleam διατελεῖν 24 ἑρμαφρο. suprascr. δ'τ V : Ἑρμαφροδίτους quod scribunt dubium. fortasse Ἑρμᾶς ῥοδίνοις cf. Theopomp. fr. 283 Porphyr. d. abst. ii 16) 26 θεῷ ἢ θεᾷ recc. (contra formulam) ; immo θεῶν [ἢ θεᾷ] vel θεῶν ἢ θύειν ⟨ἢ⟩ scribe 27 τελεσθησόμενος κτλ.] *particeps futurus initiorum quot mensibus iterandorum* (cf. Schol. Soph. O. T. 387) 29 παίδων sic V : παιδίων recc. 30 ἐπὶ V : ἀπὸ Schneider 31 ἐστεμμένων τῶν V : correxi (ἐστεμμένον τινὰ Kayser) ; intellego : *simulatque aliquem eorum qui considere solent in triviis averruncandi causa alio coronatum vidit, aemulatus ille etiam fortiora contra daemonas purgamenta adhibet.* alii alia temptarunt : σκορόδων ἐσθίοντα τῶν Siebenkees-Schneider, σκορόδων ἐφημμένον τῶν Ast, σκόροδον σιτούμενόν τινα R. Schoell, ἐσκοροδισμένον τινὰ Wilamowitz 32 ἀπελθόντων, corr. ex ἐπελθόντων V : corr. recc. 33 σκίλλῃ ἢ σκύλακι V M : σκίλλῃ καὶ δᾳδὶ Cobet : [σκίλλῃ ἢ] σκύλακι Wilamowitz αὐτὸν V 34 δὲ Blaydes : τε V φρίξας ⟨τρὶς⟩ Hirschig

Ἔστιν ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον τῶν δεδομένων, ὁ δὲ μεμψίμοιρος τοιόσδε τις, οἷος ἀποστείλαντος μερίδα τοῦ φίλου εἰπεῖν πρὸς τὸν φέροντα· 'ἐφθόνησέν μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου οὐκ ἐπὶ δεῖπνον καλέσας'. καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν· 'θαυμάζω, εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς'. καὶ τῷ Διὶ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. καὶ εὑρὼν ἐν τῇ ὁδῷ βαλλάντιον εἰπεῖν· 'ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε'. καὶ πριάμενος ἀνδράποδον ἄξιον καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος· 'θαυμάζω' εἰπεῖν 'ὅ τι ὑγιὲς οὕτω ἄξιον ἐώνημαι'. καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι 'υἱός σοι γέγονεν', εἰπεῖν ὅτι 'ἂν προσθῇς· "καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν" ἀληθῆ ἐρεῖς'. καὶ δίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων· καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων καὶ φήσαντός τινος· 'ἱλαρὸς ἴσθι', 'καὶ πῶς;' εἰπεῖν, 'ὅτι δεῖ τἀργύριον ἀποδοῦναι ἑκάστῳ καὶ χωρὶς τούτων χάριν ὀφείλειν ὡς εὐεργετημένον;'

M : Περὶ μεμψιμοιρίας ιζ′. Ἡ μεμψιμοιρία ἐπιτίμησίς τις ἐστίν. οἷον εἴ τις φιλούμενος ὑπὸ τῆς ἑταίρας φήσειεν. θαυμάζω εἰ ἀπὸ ψυχῆς σου φιλεῖς με. καὶ ἀγανακτεῖν ὅτι οὐχ ὕει. καὶ εὑρών τι ἀσχάλλειν ὅτι μὴ ἀξιολογώτερον. καὶ ὅσα τοιαῦτα γογγυστικῆς γνώμης δείγματα.

XVII. 2 ἔστι δὲ ἡ recc. παρὰ τῶν (compend.) προσή (suprascriptis compendiose litteris κ′τ) δεδομένων sic V, i. e. si inferior accentus (super η) valet προσήκοντα, sin superior προσηκόντων. atqui articulo altera lectio confirmatur. inde παρὰ τὸ προσῆκον rest. recc., τῶν ante δεδομένων ego scripsi 5 ἐφθόνησάς (comp.) V : corr. Pauw 6 κατα super φιλούμενος V 7 [τῆς] post recc. (cf. M) del. Meineke οὕτω] ὄντως Blaydes 13 σοι ex σου corr. V 14 ἀπέστην V : corr. recc. δίκην Casaubon : νίκην V 15 ἐγκαλεῖ V : corr. Stephanus 18 ὅτε Casaubon

XVIII ΑΠΙΣΤΙΑΣ ΙΗ΄

1 Ἔστιν ἀμέλει ἡ ἀπιστία ὑπόληψίς τις ἀδικίας κατὰ
2 πάντων, ὁ δὲ ἄπιστος τοιοῦτός τις, οἷος ἀποστείλας τὸν
παῖδα ὀψωνήσοντα ἕτερον παῖδα πέμπειν τὸν πευσόμενον,
3 πόσου ἐπρίατο. καὶ φέρων αὐτὸς τὸ ἀργύριον [καὶ] κατὰ 5
4 στάδιον καθίζων ἀριθμεῖν πόσον ἐστίν. καὶ τὴν γυναῖκα τὴν
αὐτοῦ ἐρωτᾶν κατακείμενος, εἰ κέκλεικε τὴν κιβωτόν, καὶ εἰ
σεσήμανται τὸ κυλιούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν
αὐλείαν ἐμβέβληται· καὶ ἂν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς
ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος τὸν 10
λύχνον ἅψας ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι καὶ
5 οὕτω μόλις ὕπνου τυγχάνειν. καὶ τοὺς ὀφείλοντας αὐτῷ
ἀργύριον μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ
6 δύναιντο ἔξαρνοι γενέσθαι. καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι
δεινὸς οὐχ ὃς ⟨ἂν⟩ βέλτιστα ἐργάσηται, ἀλλ' ὅταν ᾖ ἄξιος 15
7 ἐγγυητὴς τοῦ κναφέως. καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώ-
ματα, μάλιστα μὲν μὴ δοῦναι, ἂν δ' ἄρα τις οἰκεῖος ᾖ καὶ
ἀναγκαῖος, μόνον οὐ πυρώσας καὶ στήσας καὶ σχεδὸν ἐγγυητὴν
8 λαβὼν χρῆσαι. καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν

M: Περὶ ἀπιστίας ιη΄. Ἡ ἀπιστία ἐστὶν ὑπόληψις ἀδικίας κατὰ πάντων. οἷον εἴ τινος ὠνησαμένου αὐτῷ τι ἕτερον ἐπιπέμψειεν ἀνιχνεύσοντα. καὶ φέρων αὐτός τι συνεχῶς ἀνιχνεύειν. καὶ νυκτὸς συγκαθεύδων τῇ γυναικί. ἐρωτᾶν εἰ ὁ μοχλὸς ἐμβέβληται τῇ αὐλαία. κἀκείνης καταφασκούσης. αὐτὸς ἀναστὰς ἐκ τῶν στρωμάτων γυμνὸς καὶ ἀνυπόδητος ἐπισκέψαιτο. καὶ ὅσα τοιαῦτα:

XVIII. 1 tit. ἰη. ἀπιστίας colloc. V 2 ἡ M: om. V 5 φέρειν Corais [καὶ] del. Needham 7 αὐτοῦ V 8 κυλιούχιον V, quod idem esse ac κυλικούχιον (sic Sylburg) defendebat Meister 9 αὐλείαν V (cf. Dittenberg. Syll. ii² 587, 122): αὐλαία M (cf. v 9) 12 αὐτῷ V 14 δύνωνται Jebb ἐκδῦναι, sed in mrg. clare οὖναι V: ἐκδοῦναι ⟨πλῦναι⟩ otiose Hirschig 15 ὃς Salmasius: ὡς V ⟨ἂν⟩ addidi ἐργάσηται, η ex ε corr., sic V: ἐργάσεται recc. 16 καὶ, κ statim ex ε corr. V 18 μόνον οὐπυρώσας sic recte V: ὄνομ' ἐντυπώσας Foss 19 χρήσει V: corr. Schneider

20 αὐτοῦ ὄπισθεν μὴ βαδίζειν ἀλλ' ἔμπροσθεν, ἵνα φυλάττῃ
αὐτόν, μὴ ἐν τῇ ὁδῷ ἀποδρᾷ. καὶ τοῖς εἰληφόσι τι παρ' 9
αὐτοῦ καὶ λέγουσι· 'πόσου, κατάθου· οὐ γὰρ σχολάζω πω
πέμπειν'· "μηδὲν πραγματεύου· ἐγὼ γάρ, ⟨ἕως⟩ ἂν σὺ
σχολάσῃς, συνακολουθήσω."

ΔΥΣΧΕΡΕΙΑΣ ΙΘ′ XIX

Ἔστιν ἡ δυσχέρεια ἀθεραπευσία σώματος λύπης παρα- 1
σκευαστική, ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων 2
καὶ ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν καὶ φῆσαι
5 ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀρρωστήματα· ἔχειν γὰρ αὐτὸν
καὶ τὸν πατέρα καὶ τὸν πάππον, καὶ οὐκ εἶναι ῥᾴδιον αὐτὸν
εἰς τὸ γένος ὑποβάλλεσθαι. ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν 3
ἐν τοῖς ἀντικνημίοις καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις
καὶ μὴ θεραπεῦσαι ἀλλ' ἐᾶσαι θηριωθῆναι· καὶ τὰς μασχάλας
10 δὲ θηριώδεις καὶ δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν
καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους, ὥστε δυσέντευκτος
εἶναι καὶ ἀηδής.

Καὶ τὰ τοιαῦτα· ἐσθίων ἀπομύττεσθαι· θύων ἅμ' ἀδα- 4

M : Περὶ δυσχερείας ιθ′. Ἡ δυσχέρεια ἀθεραπευσία ἐστὶ σώματος λύπης παρασκευαστική. οἷον εἴ τις λέπραν ἔχων καὶ ἀλφὸν ἐὼν ἀθεράπευτα συγγενῆ φάσκων ἔχειν. ὡς δὲ καὶ μασχάλας θηριώδεις δασείας καὶ ὀδόντας μέλανας

---

20 (et 22) αὐτοῦ V φυλάττηται V : corr. Hirschig (conl. Arist. Vesp. 69) 21 αὐτόν Needham : αὐτῷ sic V ἀποδρᾷ Hirschig : ἀποδράσῃ V 22 πόσου] cf. xxiii 6 23 πέμπειν V : εἰπεῖν, unde responsum pendeat, probabiliter Madvig ἕως suppl. Madvig

XIX. tit. ἰθ. δυσχερείας coll. V 3 οἷος recc. : οἷον V 4 μέ ὑλ (i. e. μεγάλους) V : μέλανας Herwerden ; καὶ τοὺς ὄνυχας μεγάλους ut excerptoris additamentum del. Usener 5 αὐτῷ V αὐτὸν] αὐτοῦ Edmonds 6 αὐτὸν V : παιδίον Hanow : ἄλλον Ruge : αὐτοῦ Jebb : αὐτῶν Meister : υἱὸν conieci 11 ὥστε κτλ.] hinc usque ad § 7 quid Theophrasti quid interpolantis excerptoris sit, certo distingui non potest ; aliena capita nonnulli credunt immixta 13 ἅμ' ἀδαξᾶσθαι scripsi (cf. Diodor. 3, 29 ὡς ὑπὸ ψώρας τινὸς ἐρεθιζόμενος μετρίως ὀδαξᾶσθαι φιλοτιμεῖται ; Plut. Ap. Lac. p. 208 E v. Praef. p. vi) : ἅμα δ' ἄρξασθαι sine sensu V : ἅμα ἀρᾶσθαι Wendland : ἀπομόρξασθαι (sc. sudorem) Ussing ; alii alia

ξᾶσθαι· προσλαλῶν ἀπορρίπτειν ἀπὸ τοῦ στόματος· ἅμα
5 πιὼν προσερυγγάνειν. ἀναπίπτοντος ἐν τοῖς στρώμασι μετὰ 15
6 τῆς γυναικὸς αὐτοῦ κοιμᾶσθαι. ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ
7 χρώμενος σφύζεσθαι. καὶ χιτωνίσκον παχὺν καὶ ἱμάτιον
σφόδρα λεπτὸν καὶ κηλίδων μεστὸν ἀναβαλόμενος εἰς ἀγορὰν
ἐξελθεῖν.

8 Καὶ εἰς [ἐξ] ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης βλασ- 20
9 φημῆσαι. καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ
10 ποτήριον καὶ γελάσαι ὡς τεράστιόν τι πεποιηκώς. καὶ
αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν ἄλλων καὶ
συντερετίζειν καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι, τί οὐ ταχὺ παύσαιτο.
11 καὶ ἀποπτύσαι δὲ βουλόμενος ὑπὲρ τῆς τραπέζης, προσπτύσαι 25
τῷ οἰνοχόῳ.

XX ΑΗΔΙΑΣ Κ'

1 Ἔστιν ἡ ἀηδία, ὡς ὅρῳ λαβεῖν, ἔντευξις λύπης ποιητικὴ
2 ἄνευ βλάβης, ὁ δὲ ἀηδὴς τοιοῦτός τις, οἷος ἐγείρειν ἄρτι
3 καθεύδοντα εἰσελθών, ἵνα αὐτῷ λαλῇ. καὶ ἀνάγεσθαι δὴ
4 μέλλοντας κωλύειν. καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν, ἕως 5

καὶ ἐσθίων ἀπομύττεσθαι. καὶ ἀρξάμενος λέγειν ἀποπτύειν καὶ πίων ἐρυγγάνειν. καὶ προσπτύειν ἔμπροσθέν τινος. καὶ χρῆσθαι χιτῶσι ῥυπαροῖς. καὶ ὅσα τοιαῦτα:

M: Περὶ ἀηδίας κ'. Ἡ ἀηδία ἔντευξις ἐστι λύπης ποιητικὴ ἄνευ βλάβης. οἷον τὸ ἐγείρειν καθεύδοντα ἵνα αὐτῷ συλλαλῇ. καὶ ἀνάγεσθαί τινα ἐθέλοντα

---

15 πίνων Blaydes ἀναπίπτοντος V: ἀναπόνιπτος Badham 17 σφύζεσθαι (vox ignota) V: χρίεσθαι recc.: ἀποξύεσθαι Naber: συρίζεσθαι (*exsibilari*) temptavi 18 ἀναβαλλόμενος V: corr. Jebb 20 [ἐξ] del. recc. 21 ἐμβαλεῖν V: corr. Casaubon 22 ὥσπερ ἀστεῖόν τι perbene Bernard 23 αὐλουμένων Unger 24 συντερμίζειν, sed corr. V τί οὐ ταχὺ παύσαιτο V: ὅτι οὕτω ταχὺ παύσαιτο Eberhard: τί οὕτω ταχὺ ἐπαύσατο Ribbeck

XX. 2 ἡ suprascr. V 3 οἷον V cf. M): corr. recc. 5 μέλλοντα Casaubon (cf. M προσελθόντων Immisch: προσελθόντος Foss

ἂν περιπατήσῃ. καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος, 5
μασώμενος σιτίζειν αὐτὸς καὶ ὑποκορίζεσθαι ποππύζων καὶ
πανουργιῶν τοῦ πάππου καλῶν. καὶ ἐσθίων δὲ ἅμα δι- 6
ηγεῖσθαι, ὡς ἐλλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη καὶ
10 ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαν-
τέρα ⟨εἴη⟩ ἡ χολή. καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν 7
οἰκείων· 'Εἴπ' ὦ μάμμη, ὅτ' ὤδινες καὶ ἔτικτές με, τίς
ἡμέρα;' καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν ὡς ἡδύ ἐστι, καὶ ἀμφότερα 8
